ΝΙΚΟΛΑΟΥ ΚΥΒΕΡΝΗΤΑΚΗ - ΣΥΝΑΝΗ

# Ο ΑΓΙΟΣ ΟΣΙΟΜΑΡΤΥΣ ΝΕΚΤΑΡΙΟΣ Ο ΕΚ ΒΡΥΟΥΛΛΩΝ




## ΠΟΡΕΙΑ ΑΠΟ ΤΗ ΜΙΚΡΑ ΑΣΙΑ ΩΣ ΤΗΝ ΑΓΙΟΤΗΤΑ

ΕΚΔΟΣΙΣ
ΕΠΙΚΟΙΝΩΝΙΑΚΟΥ & ΜΟΡΦΩΤΙΚΟΥ ΙΔΡΥΜΑΤΟΣ
ΙΕΡΑΣ ΑΡΧΙΕΠΙΣΚΟΠΗΣ ΚΡΗΤΗΣ
ΗΡΑΚΛΕΙΟΝ 2008


ΝΕΚΤΑ-
ΡΙΟΣ

## ΙΟΥΛΙΟΥ ΙΑ΄.

## ΜΝΗΜΗ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΟΣΙΟΜΑΡΤΥΡΟΣ ΝΕΚΤΑΡΙΟΥ ΤΟΥ ΕΚ ΒΡΥΟΥΛΛΩΝ, ΤΟΥ ΑΓΙΑΝΝΑΝΙΤΟΥ.

Ἐν τῷ Μικρῷ Ἑσπερινῷ.

Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τῇ φερωνύμῳ σου κλήσει Μάρτυς Νεκτάριε, τὸ νέκταρ ὑπεμφαίνεις, τοῦ Χριστοῦ τῆς ἀγάπης, δι᾽ ἧς προθύμῳ γνώμῃ ὑπὲρ αὐτοῦ, ἠγωνίσω δι᾽ αἵματος, καὶ τὸν πτερνίσαντα πρῴην σε δολερῶς, καταβέβληκας πολέμιον.

Τῆς ἀσεβείας τὸ σκότος ἐμφρόνως ἔλιπες, καὶ τῷ φωτὶ Κυρίου, οὗ ἀφρόνως ἀπέστης, προσῆλθες ὁλοψύχως καὶ Ἀθλητῶν, ἐμιμήσω τὰ σκάμματα, Ὁσιομάρτυς Νεκτάριε τοῦ Χριστοῦ, πτερωθεὶς τῷ θείῳ ἔρωτι.

Ἀνδρειοτάτῃ καρδίᾳ καὶ θεολήπτῳ ψυχῇ, κατέλιπες τῆς Ἄγαρ, τὴν ὀλέθριον πλάνην, Νεκτάριε παμμάκαρ καὶ τὸν Χριστόν, παρρησίᾳ ἐκήρυξας· ὅθεν ἀξίως ἐδέξω ἐν οὐρανοῖς, τῆς ἀθλήσεως τὸν στέφανον.

Ἐν τῷ τοῦ Ἄθωνος Ὄρει πρῴην ἠγώνισαι, ἀσκητικοῖς ἱδρῶσι, σεαυτὸν ἐκκαθάρας, καὶ εἶτα μαρτυρίου ἄθλοις στερροῖς, τὸν Σωτῆρα ἐδόξασας, Ὁσιομάρτυς Νεκτάριε Ἀθλητῶν, καὶ Ὁσίων ἰσοστάσιε.

Δόξα. Ἦχος α΄.

Μαρτυρικοῖς αἵμασι φοινίξας, τὴν σὴν στολὴν Νεκτάριε, τὸν σὲ τρώσαντα ἐχθρὸν ἀπεγύμνωσας, ἀθλητικῇ ἐνστάσει· καὶ ὡς

θῦμα λογικόν, καὶ ὁλοκάρπωμα θεῖον, προσενεχθεὶς τῷ Χριστῷ, τῶν αἰωνίων ἀγαθῶν ἠξίωσαι, καὶ πάντων τῶν Ἁγίων συμμέτοχος ὤφθης· μεθ' ὧν πρέσβευε τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἁμαρτωλῶν τὰς δεήσεις προσδεχομένη, καὶ θλιβομένων στεναγμὸν μὴ παρορῶσα, πρέσβευε τῷ ἐξ ἁγνῶν λαγόνων σου, σωθῆναι ἡμᾶς, Παναγία Παρθένε.

Ἀπόστιχα.
Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Νέος ἐν Ἀθληταῖς, Νεκτάριε ἐδείχθης, ὑπὲρ Χριστοῦ ἀθλήσας· διὸ Ὁσιομάρτυς, γεραίρομεν τὴν μνήμην σου.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ...

Λόγοις τῆς σῆς μητρός, θεόφρον ἀνανήψας, κατέλιπες τὴν πλάνην, Νεκτάριε καὶ πόνοις, ἀθλήσεως διέπρεψας.

Στίχ. Εὐφρανθήσεται δίκαιος ...

Χαίρων σὺν Ἀθληταῖς, παμμάκαρ καὶ Ὁσίοις, ἀπαύστως ἐκδυσώπει, ὑπὲρ τῶν ἐκτελούντων, Νεκτάριε τὴν μνήμην σου.

Δόξα. Τριαδικόν.

Πάτερ σὺν τῷ Υἱῷ, καὶ Πνεύματι τῷ θείῳ, ὁμότιμε Θεότης, λιταῖς τοῦ Νεκταρίου, ἐλέησον τὸν κόσμον σου.

Καὶ νῦν. Θεοτοκίον.

Τέτοκας ἐν σαρκί, τὸν Κύριον τῆς δόξης, ἀναλλοιώτως Κόρη, ὃν αἴτησαι σωθῆναι, τοὺς πίστει σε δοξάζοντας.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ, καὶ Ἀπόλυσις.

Ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ.

Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ϛ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Ὅτε ἐν νεότητι σοφέ, ἄφρονι νοῒ ἀσεβείας, τὸν ζόφον δέδεξαι, τότε γνοὺς ὃ πέπονθας, κακὸν Νεκτάριε, ἀνανήψας προσέδραμες, Χριστῷ τῷ Σωτῆρι, καὶ αὐτῷ ᾠκοίωσαι, ἐν μετανοίᾳ θερμῇ· ὅθεν καὶ ἀθλήσας νομίμως, ᾔσχυνας τῆς πλάνης τὸ κράτος, καὶ Μαρτύρων ὤφθης ἰσοστάσιος.

Ῥήμασι μητρός σου τῆς σεμνῆς, πλάνης ἀπεσείσω τὸ σκότος, τελειοτάτῳ νοΐ, καὶ πόνοις ἀσκήσεως, τὸν νοῦν ἐπτέρωσας, πρὸς ἀγάπην τὴν κρείττονα, Χριστοῦ τοῦ Σωτῆρος, ὃν καὶ ὡμολόγησας, ἐπὶ ἀπίστων στερρῶς· ὅθεν καὶ ἀθλήσας νομίμως, Ὁσιομαρτύρων ἐδείχθης, σύμμορφος Νεκτάριε μακάριε.

Χαίρων προσελήλυθας σοφέ, τῷ τῆς ἁγιότητος ὄρει, πάντα τὸν κόσμον λιπών, καὶ πρὸς ὑπερκόσμια, ὄρη Νεκτάριε, ἀνυψώθης τῷ πνεύματι, καὶ καθυπεδέξω, τὸ πῦρ ἀγαπήσεως, τοῦ ἀθλοθέτου Χριστοῦ· ὅθεν καὶ ἀθλήσας νομίμως, ξίφει ἀπετμήθης τὴν κά-

ραν, καὶ τῆς πλάνης ἔτεμες τὸ φρύαγμα.

Προσόμοια ἕτερα.
Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Ἔλιπες Νεκτάριε, ἐπεγνωκὼς ὅπερ πέπονθας, ἀσεβείας τὴν πλάνησιν, καὶ Χριστὸν τὸν Κύριον, ἔργοις μετανοίας, μάκαρ ἱλεώσω, καὶ ἀπεδύσω ἀνδρικῶς, πρὸς εὐσεβείας τὰ ἀγωνίσματα, τὸ ἄνθος τῆς νεότητος, ἀπαρνησάμενος Ἅγιε, καὶ Χριστὸν ὡμολόγησας, ἀπτοήτῳ φρονήματι.

Πόνοις τῆς ἀσκήσεως, προγυμνασθεὶς προητοίμασας, σεαυτὸν πρὸς τὴν ἄθλησιν, καὶ ταύτην διήνυσας, ἀνενδότῳ γνώμῃ, Νεκτάριε μάκαρ, καὶ ἐκτμηθεὶς τὴν κεφαλήν, τοῖς τῶν αἱμάτων ῥείθροις ἀπέπνιξας, ἐχθρὸν τὸν δολιώτατον, καὶ νικηφόρος ἀνέδραμες, πρὸς τὰ ἄνω βασίλεια, ὡς Χριστοῦ Μάρτυς ἔνθεος.

Σκήτη τῆς Προμήτορος, Χριστοῦ τοῦ πάντων δεσπόζοντος, ἡ ἐν Ὄρει τοῦ Ἄθωνος, ὡς ἄνθος πανεύοσμον, ἔχουσά σε μάκαρ, πόθῳ ἑορτάζει, τὴν μνήμην σου τὴν ἱεράν, προσπτυσσομένη τὴν θείαν κάραν σου, Νεκτάριε πανεύφημε, ὡς θησαυρὸν θεοδώρητον, καὶ ἁγίασμα ἔνθεον, θείαν χάριν πηγάζουσαν.

Δόξα. Ἦχος πλ. β΄.

Τοῦ μαρτυρίου ὑπελθὼν τὸν ἀγῶνα, στερροτάτῃ ψυχῇ, μαρτυρικῆς ἀναρρήσεως ἔτυχες, Ὁσιομάρτυς Νεκτάριε· τῇ γὰρ καλῇ ὁμολογίᾳ τὴν πάλαι ἧτταν ἀνεκαλέσω, καὶ τῇ πλημμύρᾳ τοῦ αἵματος, τὸν ἀρχαῖον πτερνιστὴν ἀπέπνιξας· τὸ γὰρ πῦρ τῆς τοῦ Χριστοῦ ἀγάπης δεξάμενος, περιφανῶς ἠνδραγάθησας, μὴ φεισάμενος σαρκὸς θνησκούσης. Καὶ νῦν ἀθανασίας δεδεγμένος τὸ γέρας, ἀδιαλείπτως πρέσβευε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Ὁ αὐτός.

Τίς μὴ μακαρίσει σε...

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα τοῦ Ἁγίου Γεωργίου, ἅπερ ζήτει τῇ κγ΄ Ἀπριλίου.

## Εἰς τὴν Λιτήν, Ἰδιόμελα.

### Ἦχος α΄.

Ἀσκητικοῖς ἀγῶσιν, ἀνακαλεσάμενος τὴν ἧτταν, μαρτυρίου σκάμμασιν ἐδόξασας, τὸν Σωτῆρα Χριστόν, θεόφρον Νεκτάριε· καὶ ἐν ἀμφοτέροις δόκιμος φανείς, διπλῶν ἐπάθλων ἠξίωσαι, ὡς Ὅσιος καὶ Μάρτυς, παρὰ Κυρίου ἀξιάγαστε· οὗ τῆς δόξης ἀπολαύων, καὶ μεθέξει θεούμενος, ὑπὲρ ἡμῶν ἱκέτευε, Ὁσιομάρτυς δεόμεθα.

### Ἦχος β΄.

Ἐν παιδικῇ ἡλικίᾳ, τοῦ ἐχθροῦ τὸ δέλεαρ δεξάμενος, πρὸς καιρὸν τοῦ Χριστοῦ ἐχωρίσθης, ἀφρόνως Νεκτάριε· ἀλλ᾽ ἀνανήψας τοῦ πτώματος, μετανοίας δάκρυσι, καὶ ἔργοις φωτὸς ἀνεῦρες, ὃν ἀπώλεσας μαργαρίτην· καὶ ὅπλοις τῆς ἀθλήσεως, καιρίως κατέτρωσας, τὸν ἀρχέκακον ὄφιν· τὸν γὰρ Σταυρὸν τοῦ Σωτῆρος ἀράμενος, ἐσταυρώθης τῷ κόσμῳ, καὶ πρὸς αἰώνιον ζωὴν διεβιβάσθης, ἀθλήσας ἐμφρόνως· διὸ μακαρίζομεν, τὴν ἁγίαν σου ἄθλησιν.

### Ἦχος γ΄.

Τῆς ἀγάπης τοῦ Χριστοῦ, τὸ πῦρ δεξάμενος, ἀνδρειοφρόνως ὥρμησας, πρὸς τοὺς ἀγῶνας τῆς ἀθλήσεως, τῶν γεηρῶν ὑπερφρονήσας Νεκτάριε· τὴν γὰρ χάριν τοῦ Πνεύματος ἐνδυσάμενος, τῶν πάλαι Μαρτύρων, ἐπεδείξω τὴν στερρότητα· καὶ καλῶς ἀγωνισάμενος, τῆς αἰωνίου δόξης κληρονόμος γέγονας, παρὰ Χριστοῦ τοῦ Θεοῦ, καὶ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

### Ἦχος δ΄.

Μαρτυρικῇ ἐνστάσει, τῶν δυσσεβῶν τὴν πλάνην διήλεγξας, καὶ αἱμάτων ῥείθροις, τῆς ἀπάτης τὴν φλόγα ἔσβεσας, Ὁσιομάρτυς Νεκτάριε· καὶ νομίμως ἀθλήσας, ὡς νέος ἀστὴρ τῇ Ἐκκλησίᾳ ἀνέτειλας, φωτίζων καὶ στηρίζων ἡμᾶς, τῷ θεμελίῳ τῆς πίστεως, καὶ πρεσβεύων ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ὁ αὐτός.

Τὸν ἐν Ὁσίοις Ἀθλητήν, καὶ ἐν Μάρτυσιν Ὅσιον, Νεκτάριον τὸν νέον τοῦ Χριστοῦ Ὁσιομάρτυρα, μαρτυρικοῖς ἐπαίνοις καταστέψωμεν· τυραννικὴν γὰρ ἀπωσάμενος ἀπάτην, ἀθλητικῇ παρρησίᾳ ἐχθρὸν ἐθριάμβευσε, καὶ τὸν ἀρχαῖον πτερνιστήν, εἰς τέλος καταβέβληκε· μαρτυρικῷ δὲ διαδήματι κοσμηθείς, παρὰ Χριστοῦ ἀξίως ἐδοξάσθη, τοῦ παρέχοντος ἡμῖν, δι' αὐτοῦ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων ...



Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.
Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις Ὁσιομάρτυς Χριστοῦ, ὁ τῶν Μαρτύρων κοινωνὸς καὶ ὁμότροπος· αὐτῶν γὰρ τὸν θεῖον ζῆλον, ἐν τῇ ψυχῇ ἐσχηκώς, ἴχνεσι τοῖς τούτων ἠκολούθησας· λιπὼν τῆς ἀπάτης γάρ, νουνεχῶς τὴν σκοτόμαιναν, ξένος ἐδείχθης, τῶν ἐν κόσμῳ Νεκτάριε, ἐπειγόμενος, ἑνωθῆναι τῷ Κτίστῃ σου. Ὅθεν τυχὼν τοῦ πόθου σου, ἀθλήσας στερρότατα, τῆς ὑπὲρ νοῦν εὐφροσύνης, ἐν οὐρανοῖς κατηξίωσαι, Χριστὸν ἱκετεύων, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ...

Νέκταρ τὸ τῆς ἀγάπης Χριστοῦ, ἐν τῇ ψυχῇ σου δεδεγμένος Νεκτάριε, τοῦ κόσμου πᾶσαν πικρίαν, καὶ τὸν ἰὸν τοῦ ἐχθροῦ, ὡς θανατηφόρον ἀποθέμενος, προθύμως κατέλιπες, ἀσεβῶν τὴν συνάφειαν, καὶ ᾠκοιώθης, μετανοίας τοῖς δάκρυσι, καὶ ἀθλήσεως, τοῖς ἀγῶσι τῷ Κτίστῃ σου· ὅθεν αὐτῷ παρέστηκας, τελέσας τὸν δρόμον σου, καὶ τὴν βουλὴν τοῦ Βελίαρ, τῇ σῇ φρονήσει ἠκύρωσας· οὗ ῥῦσαι θεόφρον, καὶ ἡμᾶς τῆς δυναστείας, ταῖς ἱκεσίαις σου.

Στίχ. Εὐφρανθήσεται δίκαιος ...

Χαίρων ἀνενδοιάστῳ ψυχῇ, ἐπὶ τὸ ὄρος τὸ τοῦ Ἄθωνος ἔδραμες, Νεκτάριε Νεομάρτυς, καὶ τῆς ἀγάπης Χριστοῦ, τὴν φλόγαν ἐδέξω θείῳ Πνεύματι· ἐντεῦθεν ἐχώρησας, πρὸς ἀθλήσεως σκάμματα, καὶ τῶν τῆς Ἄγαρ, τὴν μανίαν κατῄσχυνας, τῇ ἐνστάσει σου, καὶ τῷ λόγῳ τῆς πίστεως· ὅθεν τμηθεὶς τὴν κάραν σου, ὡς Μάρτυς στερρότατος, πρὸς οὐρανίους σκηνώσεις, ἀγαλλιώμενος ἔδραμες, Χριστὸν ἱκετεύων, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. δ΄.

Τῷ τῆς ἀθλήσεως αἵματι, τὸν νοητὸν κατακλύσας ἐχθρόν, τὴν Ἐκκλησίαν κατήρδευσας, πρὸς ἀρετῶν εὐκαρπίαν, Ὁσιομάρτυς Νεκτάριε· ὅλον γὰρ τὸν πόθον, ἀναθέμενος Χριστῷ, προθύμως ἐβάδισας, τοῦ μαρτυρίου τὸν δίαυλον· καὶ Χριστοῦ τὸ πάθος δοξά-

σας, τῆς λαμπρότητος αὐτοῦ μέτοχος γέγονας. Αὐτῆς καὶ ἡμεῖς ἀξιωθείημεν, οἱ τιμῶντες τὴν μνήμην σου, ταῖς πρὸς Θεὸν πρεσβείαις σου.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι ...

Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Βρυούλλων ἀγλάϊσμα, καὶ ἀντιλήπτωρ θερμός, ἐδείχθης Νεκτάριε, ὡς Ἀθλητὴς τοῦ Χριστοῦ, ἐσχάτοις ἐν ἔτεσι· σὺ γὰρ καλῶς ἀσκήσας, ἐν τῷ ὄρει τοῦ Ἄθω, ἤθλησας θεοφρόνως, καὶ καθεῖλες τὸν ὄφιν· διό σε Ὁσιομάρτυς, πόθῳ γεραίρομεν.

Ἕτερον.
Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τὸ νέκταρ τῆς ἀγάπης, τοῦ Χριστοῦ εἰσδεξάμενος, ἀσκήσει καὶ ἀθλήσει, τὸν Σωτῆρα ἐδόξασας, Νεκτάριε καὶ δόξης θεϊκῆς, ἠξίωσαι λαμπρῶς ἐν οὐρανοῖς· διὰ τοῦτό σε τιμῶμεν μελῳδικῶς, Ὁσιομάρτυς κράζοντες· Δόξα τῷ δεδωκότι σοι ἰσχύν, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ χορηγοῦντι διὰ σοῦ, ἡμῖν πταισμάτων ἄφεσιν.

Καὶ ἕτερον.
Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.

Τῆς Σκήτης τὸ ῥόδον, καὶ τοῦ Ἄθω ἐκλόγιον, καὶ τῆς τῶν Βρυούλλων τὸ κλέος, καὶ τὸ σεπτὸν βλάστημα, Νεκτάριον τιμήσωμεν πιστοί, τὸν Ὅσιον καὶ Μάρτυρα Χριστοῦ, τὸν ἀθλήσαντα γενναίως, καὶ τελέσαντα θαυμάσια παράδοξα· δόξα τῷ ἐνισχύσαντι Χριστῷ· δόξα τῷ στεφανώσαντι. Δόξα τῷ ἐν γῇ καὶ οὐρανῷ σε θαυμαστώσαντι.

Θεοτοκίον.

Τὸ ἀπ᾽ αἰῶνος ἀπόκρυφον...

Ἀπόλυσις.

## Εἰς τὸν Ὄρθρον.

### Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Βρυούλλων ὁ βλαστός, καὶ ἀμάραντον ἄνθος, ὑμνείσθω παρ᾽ ἡμῶν, ὑμνῳδίαις ᾀσμάτων, ὁ ἔνδοξος Νεκτάριος, ὁ ἀθλήσας στερρότατα· ἱκετεύει γάρ, ὑπὲρ ἡμῶν πρὸς τὸν Κτίστην, δοῦναι ἄφεσιν, ἁμαρτιῶν ἡμῖν πᾶσι, καὶ βίου διόρθωσιν.

Θεοτοκίον.

Θεὸν ὑπερφυῶς, σωματώσασα Κόρη, καὶ μείνασα ἁγνή, μετὰ τόκον τὸν θεῖον, ἁγνόν με συντήρησον, καὶ ψυχῇ τε καὶ σώματι, καὶ πταισμάτων μοι, ἄφεσιν αἴτει Παρθένε, ὡς ἂν ἅπασαν, τὴν τοῦ δολίου μανίαν, ἐκφύγω ὁ δοῦλός σου.

### Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Ἐναθλήσας νομίμως, Μάρτυς Νεκτάριε, τῆς ἀνομίας καθεῖλες, τὰ πανουργεύματα, καὶ αἱμάτων τοῖς κρουνοῖς ἡμᾶς ἐπεύφρανας, καθάπερ νέκταρι σεπτῷ, ἐκχυθεῖσιν Ἀθλητά, τῇ θείᾳ Χριστοῦ ἀγάπῃ· ὃν ἐκδυσώπει ἀπαύστως, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Θεοτοκίον.

Ἐξ ἁγνῶν σου αἱμάτων, σὰρξ ἐχρημάτισεν, ὁ Ὑπερούσιος Λόγος, τοῦ προανάρχου Πατρός, καὶ ὡράθη τοῖς ἐν γῇ καθὼς ηὐδόκησεν, ἐν δύο φύσεσιν Ἁγνή, ὑποστάσει δὲ μιᾷ, ἀτρέπτως καὶ ἀσυγχύτως· διό σε δοξολογοῦμεν, ὡς σωτηρίας ἡμῶν πρόξενον.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.
Ἦχος γ΄. Θείας πίστεως.

Πλάνης ἔλιπες, πᾶσαν τὴν σχέσιν, καὶ ἀνεύρηκας, νοῒ τελείῳ, ὃν ἀπώλεσας λίθον πολύτιμον· ἀθλητικῶς δὲ ἐχθρὸν καταβέβληκας, καὶ τὸν Σωτῆρα λαμπρῶς ὡμολόγησας· ὃν ἱκέτευε, Νεκτάριε παναοίδιμε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Θεοτοκίον.

Πύλη πέφηνας, ἐσφραγισμένη, ἣν διέδραμε, μόνος ὁ Κτίστης, καὶ κεκλεισμένην ὡς οἶδε κατέλιπεν· ὅθεν τὰς πύλας διάνοιξον Ἄχραντε, τῆς μετανοίας τοῖς πόθῳ βοῶσί σοι· Κόρη Πάναγνε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Τὸ α΄ ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.
Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ...

Εὐαγγέλιον τὸ ἐν τῷ Ὄρθρῳ τοῦ Ἁγίου Γεωργίου.

Ὁ Ν΄. Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Ἰδιόμελον. Ἦχος πλ. β΄.
Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα...

Ἐν ὁσίοις ἱδρῶσι προγυμνάσας σεαυτόν, τοῦ μαρτυρίου τοὺς ἄθλους προθύμως διήνυσας, ἀκαταπλήκτῳ καρδίᾳ, Ὁσιομάρτυς Νεκτάριε· καὶ ὡς θῦμα καθαρὸν προσενεχθεὶς τῷ Χριστῷ, τῇ τῶν Ἁγίων συνήφθης χορείᾳ, ἁγιοπρεπῶς ἀγωνισάμενος· διὸ πρέσβευε δεόμεθα, ἐλεηθῆναι τοὺς σὲ μακαρίζοντας.

Εἶτα οἱ Κανόνες, τῆς Θεοτόκου καὶ τοῦ Ἁγίου, οὗ ἡ Ἀκροστιχίς· «Νεκταρίῳ τὸν ὕμνον προσᾴδω. Γερασίμου».

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.

Νεανικῶς καταβαλὼν Νεκτάριε, ἀθλητικαῖς ἀγωγαῖς, ὡς Χριστοῦ ὁπλίτης, τὸν ἀρχαῖον δράκοντα, τῆς νίκης τὸ διάδημα, ἐκ

Χριστοῦ ἐκομίσω, ὃν ἐκδυσώπει δεόμεθα, ὑπὲρ τῶν ἐν πίστει τιμώντων σε.

Ἐν ἡλικίᾳ νεαρᾷ Νεκτάριε, Χριστοῦ ἐμάκρυνας, ἀλλὰ τὴν ἀπάτην ἐγνωκὼς ἀνένηψας, τὸν ἔλεγχον δεξάμενος, τῆς μητρός σου ἐμφρόνως, καὶ τὸν Χριστὸν ὡμολόγησας, θείῳ δυναμούμενος Πνεύματι.

Καθάρας πρῴην μετανοίας δάκρυσι, τὴν σὴν διάνοιαν, καὶ τρωθεὶς ἀγάπῃ τῇ θείᾳ Νεκτάριε, μετὰ σπουδῆς ἐχώρησας, πρὸς ἀθλήσεως πόνους, οὕσπερ ἀνδρείως διήνυσας, λύσας τοῦ ἐχθροῦ τὰ σοφίσματα.

Θεοτοκίον.

Τὴν σὴν γαστέρα Λόγος ὁ Ὑπέρθεος, κατοικητήριον, στίλβον τῇ ἁγνείᾳ, καὶ τῇ καθαρότητι, εὑράμενος ἐσκήνωσεν, ἐν αὐτῇ Θεοτόκε, καὶ σὰρξ ἀτρέπτως γεγένηκε, μείνας ὥσπερ ἦν ἀναλλοίωτος.

Ὠδὴ γ΄. Ὁ στερεώσας κατ᾽ ἀρχάς.

Ἀπαρνησάμενος σοφῶς, ἣν πρὶν ἀφρόνως ἐδέξω, ἀσεβείας ψυχολέτειραν πλάνην, προσελήλυθας Χριστῷ, ἐν μετανοίᾳ Ἅγιε, καὶ τοῦτον τοῖς ἀνόμοις, Θεὸν τῶν ὅλων ἐκήρυξας.

Ῥήμασι θείοις τῆς μητρός, καὶ λόγοις θεογνωσίας, ὑπαχθεὶς ἀνενδοιάστῳ καρδίᾳ, καταλέλοιπας σαφῶς, τῶν ἀσεβῶν τὴν ζόφωσιν, καὶ τῷ φωτὶ προσῆλθες, τῆς εὐσεβείας Νεκτάριε.

Ἰσχὺν λαβὼν πνευματικήν, ἐν Ὄρει τοῦ Ἄθω μάκαρ, ὑπεισέδραμες Μαρτύρων τὸ σκάμμα, καὶ καθεῖλες τὸν ἐχθρόν, ὁλοσχερῶς Νεκτάριε, ὡς τοῦ Χριστοῦ ὁπλίτης, καὶ στρατιώτης ἀήττητος.

Θεοτοκίον.

Ὥσπερ κατέχουσα Χριστόν, ἐν ταῖς ἀγκάλαις σου Κόρη, ὡς Υἱόν σου διὰ σπλάγχνα ἐλέους, καθικέτευε αὐτόν, δοθῆναι πᾶσιν ἄφεσιν, τοῖς πίστει προσκυνοῦσι, τὸν ἀκατάληπτον τόκον σου.

Κάθισμα. Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Τῶν Μαρτύρων ζηλώσας τὴν ἀρετήν, στρατιώτης ἐδείχθης περιφανής, Χριστοῦ τοῦ Παντάνακτος, ἀριστεύσας λαμπρότατα, καὶ ἀληθείας ὅπλοις, ἑλὼν τὸν ἀλάστορα, τὸν πάλαι εἰς βυθόν σε ἀπάτης ὠθήσαντα· ὅθεν ἀφθαρσίας, δεδεγμένος τὸ γέρας, Ὁσίων ἠρίθμησαι, καὶ Μαρτύρων τοῖς τάγμασι, Νεομάρτυς Νεκτάριε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Θεοτοκίον.

Σαρκωθεὶς ἐξ αἱμάτων σου τῶν ἁγνῶν, διὰ σπλάγχνα ἐλέους ὑπερφυῶς, ὁ Λόγος ὁ σύνθρονος, τῷ Πατρὶ καὶ τῷ Πνεύματι, προῆλθε τοῖς ἐν κόσμῳ, σαρκὸς ὁμοιώματι, ἡμᾶς ἐκ τῆς ἀρχαίας κατάρας ῥυόμενος. Ὅθεν ὡς αἰτίαν, τῆς ἡμῶν σωτηρίας, ὑμνοῦμεν Πανύμνητε, οἱ σωθέντες τῷ τόκῳ σου, καὶ συμφώνως βοῶμέν σοι· Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς προσκυνοῦσιν ἐν πίστει, τὴν δόξαν σου Ἄχραντε.

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.

Τὸν Χριστὸν ὡμολόγησας, ὃν πρῴην ἀφρόνως ἠρνήσω Ἅγιε, καὶ αὐτοῦ Μάρτυς τὸν θάνατον, εὐσεβῶς ἐζήλωσας Νεκτάριε.

Οὐδαμῶς σε ἐπτόησαν, ἀπειλαὶ ἀδίκων κριτῶν Νεκτάριε· θεμελίῳ γὰρ τῆς πίστεως, ἀσφαλῶς ὁ πούς σου ἐπεστήρικτο.

Νέος Μάρτυς ἀήττητος, ὡς ὁσιομάρτυς Χριστοῦ περίδοξος, ἐχρημάτισας Νεκτάριε, καταλείψας κόσμου ματαιότητα.

Θεοτοκίον.

Ὑπερύμνητε Δέσποινα, τὴν κεκακωμένην ψυχήν μου πάθεσι, ἀνακούφισον καὶ ῥῦσαί με, ἐκ τῆς ἐπηρείας τοῦ ἀλάστορος.

Ὠδὴ ε'. Ἵνα τί με ἀπώσω.

Μαρτυρίου τὰ ὅπλα, ἐν τῷ Ἄθῳ Ἅγιε, λαβὼν ἐξέδραμες, πρὸς ἀνδρείαν πάλην, τῶν τοῦ σκότους ἀρχόντων Νεκτάριε, οὓς

καὶ κατὰ κράτος, καταβαλὼν νίκης τὸ στέφος, ἐκ Χριστοῦ ἐπαξίως ἀπείληφας.

Νεκρωθεὶς τοῖς ἐν κόσμῳ, τοῖς ἀσκητικοῖς σου Νεκτάριε σκάμμασι, τὴν ζωὴν τῶν ὅλων, Ἰησοῦν τὸν Σωτῆρα ἐκήρυξας, καὶ τὸν τρώσαντά σε, πρῴην ἐχθρὸν κατηγωνίσω, τῆς ἀθλήσεως θείοις παλαίσμασιν.

Ὁ Χριστοῦ Νεομάρτυς, ὁ κατὰ τὴν κλῆσιν τὸ νέκταρ τῆς χάριτος, πᾶσιν ἀναβλύζων, ἀνυμνείσθω Νεκτάριος σήμερον· οὗτος γὰρ ἐτμήθη, ὑπὲρ Χριστοῦ ἀσχέτῳ πόθῳ, καὶ Μαρτύρων συνήφθη ταῖς τάξεσι.

Θεοτοκίον.

Νόμου πάλαι οἱ τύποι, καὶ τῶν Προφητῶν τὰ θεῖα κηρύγματα, Κεχαριτωμένη, τὸν σὸν ἄφραστον τόκον προέφαινον, ὧν νῦν τὰς ἐκβάσεις, πεπληρωμένας καθορῶντες, Θεομῆτορ ὑμνοῦμεν τὴν δόξαν σου.

Ὠδὴ στ΄. Ἱλάσθητί μοι Σωτήρ.

Πεποικιλμένῃ στολῇ, τῇ ἐξ αἱμάτων σου ἔνδοξε, ὡς τοῦ Χριστοῦ Ἀθλητής, παρέστης Νεκτάριε, τῷ θρόνῳ τῆς χάριτος, καὶ τῶν ὑπὲρ φύσιν, κατετρύφησας ἐλλάμψεων.

Ῥωσθεὶς ἀγάπῃ Χριστοῦ, Ὁσιομάρτυς Νεκτάριε, ἀνδρειοτάτῃ ψυχῇ, ἐδέξω τὸν θάνατον, καὶ πρὸς τὴν ἀθάνατον, ἀνέδραμες λῆξιν, καὶ ζωὴν τὴν ἀτελεύτητον.

Οὐδόλως ταῖς ἀπειλαῖς, καὶ ταῖς βασάνοις Νεκτάριε, Ἀγαρηνῶν πτοηθείς, τὴν πάντιμον κάραν σου, ὡς ἀρνίον ἄκακον, ὑπὲρ τοῦ Σωτῆρος, ἀπετμήθης ἀγαλλόμενος.

Θεοτοκίον.

Σοφία ἡ τοῦ Θεοῦ, ἡ ἐνυπόστατος Ἄχραντε, ἐκ τῶν αἱμάτων τῶν σῶν, οἶκον ᾠκοδόμησεν, ἑαυτῇ καὶ ἄνθρωπος, ὤφθη τοῖς ἐν κόσμῳ, τοῦ Πατρὸς Λόγος ὁ σύνθρονος.

Κοντάκιον. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τὸ τῆς ἀγάπης τοῦ Χριστοῦ θεῖον νέκταρ, τῇ ἐν τῷ Ἄθῳ ἐναρέτῳ ζωῇ σου, ἐν τῇ ψυχῇ δεξάμενος Νεκτάριε, ἔδραμες πρὸς ἄθλησιν, στεῤῥοτάτῃ καρδίᾳ, καὶ Χριστὸν ἐδόξασας, τοῖς σεπτοῖς σου ἀγῶσι, καὶ παρ᾽ αὐτοῦ ἀξίως δοξασθείς, ὑπὲρ τοῦ κόσμου, πρεσβεύεις ἑκάστοτε.

Ὁ Οἶκος.

Νέος ὑπάρχων κομιδῇ, καὶ νήπιος τὴν φρένα, ὑπέστης ἧτταν χαλεπήν, ἐπαγωγῇ τοῦ πτερνιστοῦ, τοῦ ἀνθρωπίνου γένους· ἀλλ᾽ εἰς ἑαυτὸν συνελθών, καὶ ἀνανήψας ἐπιμελῶς, θερμοτάτῃ μετανοίᾳ Χριστῷ προσέδραμες, τὸ τῆς ἀρνήσεως πτῶμα ἀνακαλεσάμενος· καὶ μαρτυρικοῖς ἀγῶσι, καὶ οἰκείοις αἵμασι, καταισχύνας τὸν δράκοντα, νικηφόρος Χριστῷ ἀνελήλυθας, Ὁσιομάρτυς Νεκτάριε, καὶ διπλῶν βραβείων παρ᾽ αὐτοῦ κατηξίωσαι, καὶ ὑπὲρ τοῦ κόσμου πρεσβεύεις ἑκάστοτε.

Συναξάριον.

Τῇ ια΄ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ἁγίου ἐνδόξου Ὁσιομάρτυρος Νεκταρίου τοῦ νέου, ἀθλήσαντος ἐν ἔτει ͵αωκ΄ (1820).

Στίχ. Νέκταρ τῆς ζωῆς τῆς ἀθανάτου πίνεις
Νεκτάριε ἔνδοξε στεῤῥῶς ἀθλήσας.

Ἑνδεκάτῃ Νεκταρίοιο κέρσαν δειρὴν ἄνδρες δεινοί.

(Τὰ κατ᾽ αὐτὸν ὅρα ἐν τῷ Συναξαριστῇ).

Ταῖς αὐτοῦ πρεσβείαις Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. Θεοῦ συγκατάβασιν.

Ἀθλήσας στεῤῥότατα, υἱῶν τῆς Ἄγαρ τὴν πλάνην ᾔσχυνας, καὶ τῶν πάλαι Μαρτύρων, Μάρτυς Νεκτάριε ὤφθης σύμμορφος, μεθ᾽ ὧν βοᾷς τῷ Χριστῷ ἀγαλλόμενος· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Δυνάμει τῆς πίστεως, ἐχθρῶν ἀπίστων τὸ κράτος ἤμβλυνας, καὶ Χριστὸν τὸν Σωτῆρα, Θεὸν τῶν ὅλων λαμπρῶς ἐκήρυξας, ἀναβοῶν ἐν τοῖς ἄθλοις Νεκτάριε· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ὡς ἔχων πρὸς Κύριον, Ὁσιομάρτυς θεῖε Νεκτάριε, παρρησίαν δυσώπει, πάσης ἀνάγκης λυτροῦσθαι πάντοτε, τοὺς σὲ τιμῶντας καὶ πίστει κραυγάζοντας· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

### Θεοτοκίον.

Γενοῦ μοι ἀντίληψις, καὶ προστασία καθικετεύω σε, Θεοτόκε Παρθένε, τὴν πονηρίαν τοῦ πολεμήτορος, τὴν κατ' ἐμοῦ ἀποτρέπουσα πάντοτε, καὶ πρὸς ὁδὸν ἀληθῆ, καθοδηγοῦσά με.

### Ὠδὴ η΄. Ἑπταπλασίως κάμινον.

Ἐν Ἀθληταῖς νεόφωτον, ἀληθῶς ἄστρον πέφηνας, Ὁσιομαρτύρων, κοινωνὲ Νεκτάριε· αὐτῶν γὰρ τοῖς ἴχνεσι, βαδίσας θείῳ ἔρωτι, μέτοχος αὐτῶν, ἀνακραυγάζων ἐδείχθης· Οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ῥήσεις πιστῶς δεξάμενος, γλυκασμὸν ὡς οὐράνιον, καὶ ὡς θείαν δρόσον, τῆς μητρός σου Ἅγιε, ταχέως ἐχώρησας, πρὸς μαρτυρίου σκάμματα, ἃ καὶ νικηφόρως, διανύσας ἐβόας· Οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἀνεπιστρόφως ὥδευσας, τετρωμένος τῷ ἔρωτι, τοῦ σοῦ ἀθλοθέτου, Ἀθλητὰ Νεκτάριε, τὸν δρόμον τὸν κάλλιστον, τῆς ἱερᾶς ἀθλήσεως, ὅλως ἀτενίζων, τῷ Σωτῆρι καὶ ψάλλων· Οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

### Θεοτοκίον.

Σάρκα ἐκ σοῦ προσέλαβε, καὶ ἐγένετο ἄνθρωπος, τοῦ Πατρὸς ὁ Λόγος, ἀσυγχύτως Πάναγνε, καὶ πάντας ἐρρύσατο, δι' ἄκραν

ἀγαθότητα, ἐκ τῆς ἀλογίας, τῶν παθῶν τοὺς βοῶντας· Οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.

Ἰσχὺν ἐνδεδυμένος τὴν θεϊκήν, τὸ ἀνίσχυρον θράσος κατῄσχυνας, τοῦ πονηροῦ, τοῦ σὲ πρῴην τρώσαντος φθονερῶς, καὶ Ἀθλητὴς περίδοξος, ὤφθης τοῦ τῶν ὅλων δημιουργοῦ, Νεκτάριε θεόφρον, τῶν Ὁσιομαρτύρων, καταπλουτήσας τὴν λαμπρότητα.

Μαρτύρων καὶ Ὁσίων συγκοινωνός, καὶ ἁγίων Ἀγγέλων συνόμιλος, ἐν οὐρανοῖς, Μάρτυς χρηματίζων ὡς ἀληθῶς, ὑπὲρ ἡμῶν ἱκέτευε, σὺν αὐτοῖς δεόμεθα ἐκτενῶς, τῶν πίστει ἐκτελούντων, τὴν μνήμην σου τὴν θείαν, Ὁσιομάρτυς ἀξιάγαστε.

Οὐράνιον ἀπόλαυσιν εἰληφώς, ἐκτελέσας τὸν κάλλιστον δρόμον σου, καὶ τοῦ Χριστοῦ, πρόσωπον πρὸς πρόσωπον θεωρῶν, τὴν ὑπὲρ νοῦν λαμπρότητα, λῦσόν μου τὸν ζόφον τὸν τῆς ψυχῆς, φωτὶ τῶν πρεσβειῶν σου, Νεκτάριε θεόφρον, τοῦ εὐφημοῦντος τοὺς ἀγῶνάς σου.

Θεοτοκίον.

Ὑψίστου ἐνδιαίτημα παμφαές, ὑψηλότατε θρόνε περίδοξε, τοῦ ποιητοῦ, καὶ Θεοῦ τῶν ὅλων ὡς ἀληθῶς, Θεοκυῆτορ Ἄχραντε, ἐκ βυθοῦ ἀπάτης τοῦ δυσμενοῦς, ἀνύψωσον τὸν νοῦν μου, καὶ τοῦτον τῷ φωτί σου, τῷ γλυκυτάτῳ Κόρη φώτισον.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Τοῦ πτερνιστοῦ τὰ ἔνεδρα, συνέτριψας Νεκτάριε, καὶ τῆς αὐτοῦ πονηρίας, περιεγένου εἰς τέλος· νομίμως γὰρ ἐνήθλησας, καὶ Μάρτυς ἀπαράγραπτος, Χριστοῦ τοῦ Παντοκράτορος, ὡς ἀληθῶς ἀνεδείχθης, Ὁσιομάρτυς θεόφρον.

Θεοτοκίον.

Θεὸν τὸν Ὑπερούσιον, σωματωθέντα τέτοκας, ἐκ τῶν ἁγνῶν σου αἱμάτων, ἀναλλοιώτως Παρθένε· διό σε μεγαλύνομεν, καὶ

τὸ φρικτὸν μυστήριον, τοῦ τόκου σου δοξάζομεν, δι' οὗ ἐρρύσθημεν Κόρη, τῆς παλαιᾶς καταδίκης.

## Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Τῆς σῆς ἀθλήσεως Μάρτυς, τὴν μνήμην ἄγοντες, Νεκτάριε ὑμνοῦμεν, τοὺς σεπτούς σου ἀγῶνας· τὸ νέκταρ τῆς ἀγάπης γὰρ τοῦ Χριστοῦ, ἡμῖν πᾶσι προρρέουσι, καὶ τὰς ψυχὰς κατευφραίνουσι μυστικῶς, τῶν ἐν ὕμνοις γεραιρόντων σε.

Ὥσπερ στρουθίον ἐρρύσθης, κατὰ Δαβὶδ ἀληθῶς, ἐκ τῆς παγίδος Μάρτυς, δυσσεβούντων τυράννων, καὶ ἤθλησας νομίμως ὑπὲρ Χριστοῦ, θεολήπτῳ φρονήματι, Ὁσιομάρτυς Νεκτάριε καὶ χαρᾶς, οὐρανίου κατηξίωσαι.

Οὔτε νεότητος ὥρα, οὐ δωρεῶν παροχαί, οὔτε βασάνων εἴδη, οὐ θυμὸς τῶν τυράννων, ἐξίσχυσαν χωρίσαι σε τῆς Χριστοῦ, κραταιᾶς ἀγαπήσεως, ὑπὲρ οὗ ξίφει ἐτμήθης τὴν κεφαλήν, ἀγαλλόμενος Νεκτάριε.

Ταῖς τῶν Ὁσίων χορείαις, συνευφραινόμενος, καὶ τῶν κλεινῶν Μαρτύρων, ὡς Χριστοῦ Ἀθλοφόρος, ἱκέτευε ἀπαύστως ὑπὲρ ἡμῶν, τῶν τελούντων τὴν μνήμην σου, καὶ προσκυνούντων τὴν κάραν σου τὴν σεπτήν, παναοίδιμε Νεκτάριε.

Δόξα. Ἦχος πλ. α'.

Τῇ ἀθλητικῇ σου ἐνστάσει, τοῦ δυσμενοῦς τὰ κέντρα συνέτριψας, Ὁσιομάρτυς Νεκτάριε· θείῳ γὰρ πυρὶ ἀναφλεχθεὶς Χριστοῦ τῆς ἀγάπης, θεοπρεπῶς διήνυσας, τῆς εὐσεβείας τὸ στάδιον· καὶ κατ' ἀξίαν δοξασθείς, τῷ θείῳ νέκταρι εὐφραίνεις τὰς ψυχὰς ἡμῶν, ταῖς πρὸς Χριστὸν πρεσβείαις σου· ὃν ἵλεων ἡμῖν ἀπεργάζου, τοῖς ἑορτάζουσι τὴν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε ...

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

## Εἰς τὴν Λειτουργίαν.

Τὰ συνήθη. Ἀπόστολον ζήτει τῇ κζ΄ Κυριακῇ καὶ Εὐαγγέλιον τὸ τοῦ Ἁγίου Γεωργίου.

Κοινωνικόν. Εἰς μνημόσυνον...

Μεγαλυνάριον.

Χαίροις ὁ Βρυούλλων θεῖος βλαστός, ὁ νέκταρ πηγάζων, ταῖς καρδίαις τῶν εὐσεβῶν, τῶν ὑμνολογούντων, τὴν θείαν ἄθλησίν σου, Χριστοῦ Ὁσιομάρτυς, θεῖε Νεκτάριε.

Δίστιχον.

Νεκτάριε νέκταρι εὔφρανον θείῳ
Τὸν σὲ ὑμνήσαντα Γεράσιμον ἄρτι.



Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε ...

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν.

Τὰ συνήθη. Ἀπόστολον ζήτει τῇ κζ΄ Κυριακῇ καὶ Εὐαγγέλιον τὸ τοῦ Ἁγίου Γεωργίου.

Κοινωνικόν. Εἰς μνημόσυνον...

Μεγαλυνάριον.

Χαίροις ὁ Βρυούλλων θεῖος βλαστός, ὁ νέκταρ πηγάζων, ταῖς καρδίαις τῶν εὐσεβῶν, τῶν ὑμνολογούντων, τὴν θείαν ἄθλησίν σου, Χριστοῦ Ὁσιομάρτυς, θεῖε Νεκτάριε.

Δίστιχον.

Νεκτάριε νέκταρι εὔφρανον θείῳ
Τὸν σὲ ὑμνήσαντα Γεράσιμον ἄρτι.



# Παρακλητικὸς Κανὼν
# εἰς τὸν Ἅγιον ἔνδοξον
# Ὁσιομάρτυρα
# Νεκτάριον
# τὸν ἐκ Βρυούλλων.

Ποίημα

τοῦ ταπεινοῦ Ἐπισκόπου Κυρίλλου,

τοὐπίκλην Κογεράκη,

Μητροπολίτου

τῆς ἁγιωτάτης Μητροπόλεως Ῥόδου.

Εὐλογήσαντος τοῦ Ἱερέως τὸ Κύριε εἰσάκουσον μεθ᾿ ὅ τὸ Θεὸς Κύριος καὶ τὰ κάτωθι Τροπάρια.

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὡς τῶν Ὁσίων τῆς τρυφῆς κοινωνήσας, καὶ Ἀθλοφόρων τῆς χαρᾶς εὐμοιρήσας, καὶ δόξῃ παριστάμενος, Θεῷ ἐν οὐρανοῖς, τοὺς πιστῶς προστρέχοντας, τῇ σεπτῇ σου πρεσβείᾳ, καὶ ἀνευφημοῦντάς σε, ὁλοτρόπῳ καρδίᾳ, ἀπὸ παντοίων ῥῦσαι συμφορῶν, Ὁσιομάρτυς παμμάκαρ Νεκτάριε.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομεν ποτὲ Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο, ἐκ τοσούτων κινδύνων· Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; οὐκ ἀποστῶμεν Δέσποινα, ἐκ σοῦ· σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ὁ Ν΄ καὶ ὁ Κανὼν τοῦ Ἁγίου, οὗ ἡ Ἀκροστιχὶς ἐν τοῖς Θεοτοκίοις· «Κυρίλλου».

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Εὐχαῖς σου Νεκτάριε θαυμαστέ, ταῖς χαριτοβρύτοις, πρὸς τὸν Κύριον καὶ Θεόν, αἴτησαι τῶν θείων δωρημάτων, τοῖς εὐφημοῦσί σε πόθῳ τὸ πλήρωμα.

Ἰσχύϊ τῇ θείᾳ ἐνισχυθείς, ὑστέροις ἐν χρόνοις, κατεπάτησας τὸν ἐχθρόν, οὗ ῥῦσαι κακίας τῆς ἀμέτρου, τοὺς ἀνυμνοῦντάς σε Πάτερ Νεκτάριε.

Ἀσκήσεως ἄθλοις ὡραϊσθείς, Μαρτύρων ἀγῶσιν, ὑπερήστραψας ὡς φωστήρ· διὸ τῷ φωτὶ τῆς χάριτός σου, τοὺς ὑμνητάς

σου Νεκτάριε φώτισον.

### Θεοτοκίον.

Κακίας ἀνάγαγε ἐκ βυθοῦ, Δέσποινα Μαρία, τὴν ψυχήν μου τὴν ταπεινήν· σὲ γὰρ θερμοτάτην προστασίαν, ἐπικαλοῦμαι ὁ ἄθλιος δοῦλός σου.

### ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Μετανοίας τοῖς ἔργοις, ἐνισχυθεὶς ἄνωθεν, ὤφθης ἐν καιρῷ τῆς δουλείας, μέγας ἐν Μάρτυσι, μεθ' ὧν ἱκέτευε, ὑπὲρ ἡμῶν ἵνα χάριν, εὕρωμεν καὶ ἔλεος, θεῖε Νεκτάριε.

Στηλιτεύσας ἀνδρείως, τυραννικὴν ἔπαρσιν, τῆς κληρονομίας τῆς θείας, ἐδείχθης ἄξιος· ὅθεν ἀξίωσον, τῆς εὐσεβείας τὰ ἔργα, καὶ ἡμᾶς Νεκτάριε, πιστῶς ἐργάζεσθαι.

Ἀπὸ πάσης ἀνάγκης, καὶ συμφορᾶς λύτρωσαι, τοὺς ἐπιζητοῦντας παμμάκαρ, τὴν προστασίαν σου· σὲ γὰρ Νεκτάριε, ὁ Βασιλεὺς τῶν ἁπάντων, ὡς Ὁσιομάρτυρα, τρανῶς ἐδόξασε.

### Θεοτοκίον.

Ὑπερύμνητε Κόρη, ἄνευ φθορᾶς τέτοκας, τὸν τῆς γῆς κρατοῦντα καὶ πόλου, Θείῳ ἐν Πνεύματι. Ὅθεν τιμῶμέν σε, τὴν Θεοτόκον Μαρίαν, τὴν ἁγίαν χάριν σου, ἀπεκδεχόμενοι.

Διάσωσον ἀπὸ παντοίων κινδύνων καὶ συμπτωμάτων, Ὁσιομάρτυς Κυρίου Νεκτάριε, τοὺς τῇ σεπτῇ σου πρεσβείᾳ ἀνακειμένους.

Ἐπίβλεψον ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

### Αἴτησις καὶ τὸ Κάθισμα.

### Ἦχος β΄. Πρεσβεία θερμή.

Χριστοῦ τοῦ Θεοῦ, τῷ πόθῳ ἐπειγόμενος, Μαρτύρων καλῶς, τὸν δίαυλον διήνυσας, καὶ τοῦ θείου νέκταρος, φερωνύμως ἐν

πόλῳ ἐτρύγησας, ὑπὲρ ἡμῶν αἰτούμενος ἀεί, οὐράνιον ἔλεος Νεκτάριε.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

Ὑμνῳδίαις Νεκτάριε, ὡς νέκταρ τῆς χάριτος εὐφημοῦμέν σε· ὑπερεύχου τῶν τιμώντων σε, ἐν ταῖς πρὸς Θεὸν σεπταῖς πρεσβείαις σου.

Ῥῶσιν αἴτει Νεκτάριε, τοῖς ἀνευφημοῦσί σε ὡς ἀήττητον, δι᾽ οὗ τέλεον κατῄσχυνται, τῶν Ἀγαρηνῶν ἡ φρενοβλάβεια.

Ἀπὸ πάσης διάσωσον, θλίψεως τοὺς πόθῳ σε μακαρίζοντας, ὡς ἀνδρείως διανύσαντα, τὸν μαρτυρικὸν δρόμον Νεκτάριε.

Θεοτοκίον.

Ῥυπτικαῖς σου δεήσεσι, σπίλου ἀνομίας με ἀποκάθαρον, Θεοτόκε Ἀπειρόγαμε, ἵνα μεγαλύνω σε σῳζόμενος.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Ἵλεων ἡμῖν, ὦ Νεκτάριε ἀπέργασαι, τὸν οἰκτίρμονα καὶ εὔσπλαγχνον Θεόν, ὡς τμηθεὶς τὴν κεφαλὴν ἁγίῳ ἔρωτι.

Νόσων συμπαθῶς, τῶν κατ᾽ ἄμφω ἡμᾶς λύτρωσαι· ἐκ Θεοῦ γὰρ ὦ Νεκτάριε σοφέ, ἰαμάτων τὰ χαρίσματα ἀπέλαβες.

Πλήρωσον ἡμῶν, τὰς ψυχὰς μάκαρ Νεκτάριε, θυμηδίας καὶ χαρᾶς πνευματικῆς, γηθοσύνως ἵνα μέλπομεν τοὺς ἄθλους σου.

Θεοτοκίον.

Ἴθυνον ἡμῶν, τὰς πορείας πρὸς ἀνάβασιν, Θεονύμφευτε Μαρία ἀρετῶν, μητρικῇ χειραγωγίᾳ τῆς πρεσβείας σου.

Ὠδὴ στ΄. Τὴν δέησιν ἐκχεῶ.

Τὸν Κύριον, ψαλμικῶς Νεκτάριε, προσχεδόμενος πολλῇ ἐν συνέσει, τὴν κεφαλήν σου τῷ ξίφει ἐτμήθης, καὶ πρὸς ζωὴν προσε-

χώρησας ἄφθαρτον. Ὅθεν φθορᾶς ἁμαρτιῶν, καὶ ἡμᾶς ἀνωτέρους συντήρησον.

Βρυούλων σε, τὸν λαμπρὸν ἀδάμαντα, καὶ τοῦ Ἄθωνος τὸ εὔοσμον ἄνθος, ἀνευφημοῦντες Νεκτάριε μάκαρ, ἐν κατανύξει ψυχῆς ἐκβοῶμέν σοι· Πάρεσο Ἅγιε ἡμῖν, βοηθὸς ἐν τῷ βίῳ καὶ πρόμαχος.

Ἐν θλίψεσιν, ἀλγειναῖς Νεκτάριε, καταφεύγομεν τῇ σῇ ἀντιλήψει, παραμυθίας δεόμενοι θείας, ἀξιωθῆναι ἡμεῖς οἱ τιμῶντές σε, τὸν ἐναθλήσαντα διττῶς, προαιρέσει παμμάκαρ καὶ αἵματι.

Θεοτοκίον.

Λυτρούμενος, διὰ σοῦ Θεόνυμφε, τῶν λυπούντων με πικρῶς καθ' ἑκάστην, τὸν ἀσπασμὸν τοῦ σεπτοῦ Ἀρχαγγέλου, μετ' εὐφροσύνης θερμῶς ἀνακράζω σοι· Χαῖρε Πανάχραντε χαρᾶς, αἰωνίου καὶ κρείττονος πρόξενος.

Διάσωσον ἀπὸ παντοίων κινδύνων καὶ συμπτωμάτων, Ὁσιομάρτυς Κυρίου Νεκτάριε, τοὺς τῇ σεπτῇ σου πρεσβείᾳ ἀνακειμένους.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παρρησίαν.

Αἴτησις καὶ τὸ Κοντάκιον.
Ἦχος β'. Τοῖς τῶν αἱμάτων σου.

Τοῖς τῶν αἱμάτων σου ῥείθροις Νεκτάριε, καταλαμπρύνας στολὴν τῆς ἀσκήσεως, ὡραῖος τῷ Κτίστῃ παρίστασαι, ὑπὲρ ἡμῶν παρρησίᾳ δεόμενος, τῶν πίστει θερμῇ προσιόντων σοι.

Προκείμενον. Ἦχος δ'.

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.
Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

## Εὐαγγέλιον.
## Ἐκ τοῦ κατὰ Λουκᾶν.
(Κεφ. ιϐ', 8-12).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Πᾶς ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου ὁμολογήσει ἐν αὐτῷ ἔμπροσθεν τῶν Ἀγγέλων τοῦ Θεοῦ. Ὁ δὲ ἀρνησάμενός με ἐνώπιον τῶν ἀνθρώπων, ἀπαρνήσεται ἐνώπιον τῶν Ἀγγέλων τοῦ Θεοῦ. Καὶ πᾶς ὃς ἐρεῖ λόγον εἰς τὸν Υἱὸν τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· τῷ δὲ εἰς τὸ ἅγιον Πνεῦμα βλασφημήσαντι οὐκ ἀφεθήσεται. Ὅταν δὲ προσφέρωσιν ὑμᾶς ἐπὶ τὰς συναγωγάς, καὶ τὰς ἀρχάς, καὶ τὰς ἐξουσίας, μὴ μεριμνᾶτε πῶς ἢ τί ἀπολογήσησθε, ἢ τί εἴπητε· τὸ γὰρ ἅγιον Πνεῦμα διδάξει ὑμᾶς ἐν αὐτῇ τῇ ὥρᾳ, ἃ δεῖ εἰπεῖν.

Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου... Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

## Προσόμοιον.
Ἦχος πλ. ϐ'. Ὅλην ἀποθέμενοι.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Νεκτάριε ἔνδοξε, Ὁσιομάρτυς Κυρίου, πάντες καταφεύγομεν, τῇ σεπτῇ πρεσβείᾳ σου, ἀνακράζοντες· Πρόφθασον Ἅγιε, συμπαθῶς ἐκ πάσης, διασῴζων περιστάσεως, νόσων τε θλίψεων, καὶ τῆς ἐπηρείας τοῦ χείρονος, τοὺς μέλποντας ἐκ πίστεως, τοὺς διττοὺς ἐν ὕμνοις ἀγῶνάς σου· σὺ γὰρ στεφηφόρος, παρίστασαι Θεῷ ἐν οὐρανοῖς, σὺν Ἀθλοφόρων στρατεύμασι, καὶ Μαρτύρων τάγμασι.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου...

Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Τῶν αἱμάτων τοῖς λύθροις, τὴν στολὴν πορφυρώσας, τῆς ἐν ἀσκήσει ζωῆς, παρίστασαι ὡραῖος, Θεῷ τῷ ἐν Τριάδι, ἐν ὑψίστοις Νεκτάριε, παρ' οὗ ἐξαίτει ἡμῖν, συγχώρησιν πταισμάτων.

Ὅν ἀπώλεσας πρῴην, θησαυρὸν τοῖς διττοῖς σου, εὗρες καμάτοις σοφέ· διὸ πτωχεύσαντά με, πολλαῖς ἐν ἁμαρτίαις, σαῖς πρεσβείαις Νεκτάριε, μή με ἐάσης ἐχθροῦ, ἐπίχαρμα γενέσθαι.

Ψυχικῶν μολυσμάτων, καὶ σαρκὸς νοσημάτων, δεῦρο καθαίρων ἡμᾶς, τοὺς κατασπαζομένους, τὸ θεῖον λείψανόν σου, θεοφόρε Νεκτάριε, ἐξ οὗ προχέει Θεός, κρουνοὺς τῶν χαρισμάτων.

Θεοτοκίον.

Λυμαινόμενον Μῆτερ, τοῦ δολίου δυνάστου, ἐπιδρομαῖς χαλεπαῖς, θερμῶς σε ἱκετεύω· Ὡς ἄμετρον πλουτοῦσα, πρὸς ἀνθρώπους συμπάθειαν, ἐλέησόν με τὸν σόν, πανάθλιον οἰκέτην.

ᾨδὴ η΄. Τὸν Βασιλέα.

Εὐεργεσίας, θεῖον ἀνάβλυσον νέκταρ, ὦ Νεκτάριε ἡμῖν τοῖς ἀναξίοις, κατασπαζομένοις, τὸ θεῖον λείψανόν σου.

Ἐν μετανοίᾳ, ἡμᾶς διάγειν τὸν βίον, ὦ Νεκτάριε ἐνίσχυσον εὐχαῖς σου· σὺ γὰρ μετανοίας, ὑπόδειγμα ἐδείχθης.

Τὸν Βασιλέα, θερμῶς δυσώπει τοῦ κόσμου, ὡς μεγάλαθλος αὐτοῦ Ὁσιομάρτυς, ἵνα τῆς ἀφράστου, τρυφῆς ἀξιωθῶμεν.

Θεοτοκίον.

Ὄμβρισον Μῆτερ, ζωῆς ἀΰλου τὸ ὕδωρ, τῇ ἀθλίως αὐχμωθείσῃ μου καρδίᾳ, ἵνα σε δοξάζω, τὴν Κεχαριτωμένην.

ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.

Ὡς βρύσις νεκταρώδης, θείων χαρισμάτων, τὴν ξηρανθεῖσαν καρδίαν μου δρόσισον. Ὁσιομάρτυς Κυρίου, Πάτερ Νεκτάριε.

Κακώσεων ὀδύνης, τῶν ἐξ ἁμαρτίας, τὰς διανοίας Νεκτάριε ἴασαι, τῶν εὐλαβῶς πεποιθότων, τῇ ἀντιλήψει σου.

Ὑμνοῦμέν σε ἀπαύστως, οἱ κατατρυφῶντες, τῆς χάριτός σου παμμάκαρ Νεκτάριε, ὡς εὐσεβείας ὁπλίτην, ἀκαταγώνιστον.

Θεοτοκίον.

Υ῾πέραγνε Μαρία, Κεχαριτωμένη, τὴν ταπεινήν μου ψυχὴν καταλάμπρυνον, φωτοχυσίᾳ ἀπλέτῳ, τῆς εὐσπλαγχνίας σου.

Τὸ ῎Αξιόν ἐστι καὶ τὰ Μεγαλυνάρια.

Χαίροις μοναζόντων ὑπογραμμός, καὶ τῶν ᾿Αθλοφόρων, ἐξεικόνισμα θαυμαστόν· χαίροις τῶν θαυμάτων, εὐώδης μυροθήκη, καὶ χάριτος δοχεῖον, θεῖον Νεκτάριε.

Ξίφει τὸν αὐχένα ἀποτμηθείς, ἀπέτεμες πάσας, τοῦ δολίου τὰς μηχανάς, καὶ τοῖς μέλεσί σου, Νεκτάριε παμμάκαρ, Θεὸν τὸν ἐν Τριάδι, τρανῶς ἐδόξασας.

Τῆς ἐλευθερίας τῆς ἐν Χριστῷ, διὰ μετανοίας, θησαυρίσας τὸν θησαυρόν, ἐν σκότει δουλείας, Νεκτάριε τοῦ Γένους, ἀγῶσι μαρτυρίου, ὡς φῶς ἐξέλαμψας.

Δεῦρο διασῴζων ὡς συμπαθής, ἀπὸ νοσημάτων, καὶ κινδύνων παντοδαπῶν, θλίψεων παντοίων, καὶ πάσης δυσπραγίας, Νεκτάριε τρισμάκαρ, τοὺς ὑμνολόγους σου.

Δεῦτε καὶ προσπέσωμεν ἀδελφοί, τῷ θείῳ λειψάνῳ, Νεκταρίου τοῦ εὐκλεοῦς, ἐξ οὗ ἀναβλύζει, τοῦ Πνεύματος ἡ χάρις, καὶ δόξαν τῷ Κυρίῳ, πάντες προσάξωμεν.

Πᾶσαι τῶν ᾿Αγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, ᾿Αποστόλων ἡ δωδεκάς, οἱ ῞Αγιοι Πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

Τὸ Τρισάγιον, τὰ συνήθη Τροπάρια, ᾿Εκτενὴς παρὰ τοῦ ῾Ιερέως καὶ ᾿Απόλυσις, μεθ᾿ ἣν ψάλλομεν τὰ κάτωθι Τροπάρια.

῏Ηχος β´. ῞Οτε ἐκ τοῦ ξύλου.

Δεῦτε Νεκταρίου ἀδελφοί, τῷ χαριτοβρύτῳ λειψάνῳ, πάντες προσπέσωμεν, καὶ ἀναβοήσωμεν, ψυχῆς εὐθύτητι· ῾Ως πλουτήσας πρὸς Κύριον, πολλὴν παρρησίαν, δεῦρο τῇ σῇ χάριτι, ὡς συμ-

παθέστατος, βλάβης πειρασμῶν καὶ κινδύνων, καὶ ἐπηρειῶν ὀλεθρίων, μάκαρ σοὺς ἱκέτας ἐξαιρούμενος.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Δι᾽ εὐχῶν τῶν Ἁγίων...

*Δίστιχον.*

Κυρίλλῳ αἴτει συγχώρησιν πταισμάτων,
Προσπίπτοντί σοι, Νεκτάριε παμμάκαρ.

